καὶ μὴ δῶς τὴν ἐξουσίαν ὁ κράτιστον τῷ χείρονι :

Ἀΐδιος ὁ θεὸς καὶ ἀόρατος καὶ ἀόριστος· καὶ
ἀΐδια ἀγαθά, καὶ ἀόρατα καὶ ἀνεκλάλητα·
τοῖς αὐτοῦ ὑποκύπτουσιν ἐπηγγείλατο :

Ἴδιον τοῦ νοῦ, τὸ εὐθέως διακρίνειν· καὶ περὶ αὐτοῦ διανο-
εῖσθαι· καὶ τὸ αὐτοῦ προνοεῖν· καὶ τῶν φοβερῶν
αὐτὴν κρείττω : Ἔχουσα τὴν ἐξουσίαν ἡ ψυχὴ ἀμφο-
τέρων ῥοπῆς, ἑλοῦ τὸ κρεῖττον καλόν, καὶ ὑποτά-
ξασα τὸ χεῖρον : Καλὴ ἡ αἴσθησις, καὶ καλὰ τὰ
αἰσθητά· ὡς ἔργα τοῦ ἀγαθοῦ θεοῦ· ὅσα μείονα
δὲ ὅμως ὑπάρχει τὰ παρὰ τῶν νῶν καὶ τοῖς νοητοῖς :

Τὴν λογικὴν καὶ νοερὰν οὐσίαν, δεκτικὴν τῆς ἀρετῆς,
καὶ τῆς ἐναντίας γνώσεως, ὁ δεσπότης ἐδημιούργησε·
τὴν δὲ αἴσθησιν καὶ τὰ αἰσθητὰ εἰς χρῆσιν αὐ-
τοῖς παρέσχηκεν : Ὥσπερ ἄτοπον δούλῳ φαύλῳ,
δεσπότην ἀγαθὸν ὑποτάξαι· οὕτως ἄτοπον νοῦν
λογικὸν σώματι δουλῶσαι φθαρτῷ :

Νοῦς μὲν ἐπίσταται τῶν τῆς αἰσθήσεως· διὰ αὐτῆς περὶ τὰ
αἰσθητὰ καὶ ὑφ᾽ ἧς δὲ ἡδονῆς τῶν αἰσθητῶν ἀπα-
τηθείς· τί κακὸν ἔχει τὴν φαυλότητα :